**ψῆφος.** Ψῆφος/γνώμη ἐκφρασμένη μὲ ψῆφο, vote/opinion expressed in a ballot, Δημόκριτος 260 *κιξάλλην καὶ ληστὴν πάντα κτείνων τις ἀθῷος ἂν εἴη καὶ αὐτοχειρίῃ καὶ κελεύων καὶ ψήφῳ.*

**ψόγος.** Ψόγος/ἐπίμεμπτη συμπεριφορά, blame/reprehensible behaviour, Ξενοφάνης 11.2 *ὅσσα παρ' ἀνθρώποισιν ὀνείδεα καὶ ψόγος ἐστίν.*

**ψόφος.** Ἦχος/θόρυβος, sound/noise, Ἀρχύτας 1.11-17-22-28 *οὐ δυνατόν ἐστιν ἦμεν ψόφον μὴ γενηθείσας πληγᾶς ... τυπτόμενα ποιεῖν ψόφον ... οὐ γὰρ παραδύεσθαι ἐς τὰν ἀκοὰν ἁμῖν τὼς μεγάλως τῶν ψόφων ... βαρὺν ποιήσει τὸν ψόφον.*

**ψύχεσθαι** (ἀντίθ. *θέρεσθαι*). Ψύχομαι, become cold, Ἡράκλειτος 126 *τὰ ψυχρὰ θέρεται, θερμὸν ψύχεται, ὑγρὸν αὐαίνεται, καρφαλέον νοτίζεται.* Πρβλ. *ψῦχος, ψυχρός, ψυχρότης.*

**ψυχὴ 1.** Ἡ ψυχὴ ὡς ἀρχὴ ζωῆς, soul as a principle of life, Ἀναξιμένης 2 *οἷον ἡ ψυχή ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς, καὶ ὅλον τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει* Ἐμπεδοκλῆς A 4 (DK I 283,18) ἐλέγχει τοὺς *αἷμα φάσκοντας τὴν ψυχήν,* ὅτι ἡ γονὴ οὐχ αἷμα 138 *χαλκῷ ἀπὸ ψυχὴν ἀρύσας* Ἀναξαγόρας 4.5 *καὶ ἀνθρώπους τε συμπαγῆναι καὶ τὰ ἄλλα ζῷα ὅσα ψυχὴν ἔχει* 12.11 *καὶ ὅσα γε ψυχὴν ἔχει καὶ τὰ μείζω καὶ τὰ ἐλάσσω, πάντων νοῦς κρατεῖ* Διογένης 4.3 *ἄνθρωποι γὰρ καὶ τὰ ἄλλα ζῷα ἀναπνέοντα ζώει τῷ ἀέρι. καὶ τοῦτο αὐτοῖς καὶ ψυχή ἐστι καὶ νόησις* 5.12 *καὶ πάντων τῶν ζῴων δὲ ἡ ψυχὴ τὸ αὐτό ἐστιν* Δημόκριτος 278.8 *ἡ μὲν φύσις τοιαύτη πάντων ἐστὶν ὅσσα ψυχὴν ἔχει* **2.** Ἡ ψυχὴ καθ' ἑαυτήν, soul in itself, Ἡράκλειτος 36 *ψυχῇσιν θάνατος ὕδωρ γενέσθαι, ὕδατι δὲ θάνατος γῆν γενέσθαι, ἐκ γῆς δὲ ὕδωρ γίνεται, ἐξ ὕδατος δὲ ψυχὴ* 98 *αἱ ψυχαὶ ὀσμῶνται καθ' Ἅιδην* **3.** Ἡ ψυχὴ ὡς ὑποκείμενη σὲ μετενσωμάτωση, soul as subject to reincorporation, Ξενοφάνης 7.5 «*παῦσαι, μηδὲ ῥάπιζ' (*sc. *σκύλακα), ἐπεὶ ἦ φίλου ἀνέρος ἐστὶν ψυχὴ ...*" Φιλόλαος 14 *διά τινας τιμωρίας ἁ ψυχὰ τῷ σώματι συνέζευκται* **4.** Ἡ ψυχὴ ὡς ὑπαρξιακὴ ἀρχὴ τοῦ ἀνθρώπου, soul as existential principle of man, Ἡράκλειτος 45 *ψυ-*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ